eul_wid: bdq-aa

*Κλεόστρατος ὁ Τενήδιος* · Cleostratus of Tenedos

# Testimonies

*Μαρτυρίαι*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Αἰολική* Aeolic (frg)
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Συναγωγή* Collection

1275 001.1 THEOPHR. de sign. 4 διὸ καὶ ἀγαθοὶ γεγένηνται κατὰ τόπους τινὰς ἀστρονόμοι ἔνιοι οἷον Ματρικέτας ἐν Μηθύμνηι ἀπὸ τοῦ Λεπετύμνου καὶ Κλεόστρατος ἐν Τενέδωι ἀπὸ τῆς Ἴδης καὶ Φαεινὸς Ἀθήνησιν ἀπὸ τοῦ Λυκαβηττοῦ τὰ περὶ τὰς τροπὰς συνεῖδε, παρ' οὗ Μέτων ἀκούσας τὸν τῶν ἑνὸς δεόντων εἴκοσιν 〈ἐτῶν〉 ἐνιαυτὸν συνέταξεν· ἦν δὲ ὁ μὲν Φαεινὸς μέτοικος Ἀθήνησιν, ὁ δὲ Μέτων Ἀθηναῖος.

1275 001.2 SCYLAX 95 νῆσος κατὰ ταῦτα κεῖται Τένεδος καὶ λιμήν, ὅθεν Κλεόστρατος ὁ ἀστρολόγος ἐστί.

1275 001.3 ARAT. V. 2, 5 p. 324, 10 Maass πολλοὶ γὰρ καὶ ἄλλοι Φαινόμενα ἔγραψαν [auber Arat] καὶ Κλεόστρατος καὶ Σμίνθης καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς κτλ.

1275 001.3a CATALOGUS astron. ed. Maass (Wilamowitz . Philol. Unters. XII 121) Κλεόστρατος Τενέδιος.

1275 001.4 ATHEN. VII 278 A ὁ δὲ ὀψοδαίδαλος Ἀρχέστρατος ἐν τῆι Γαστρολογίαι (οὕτως γὰρ ἐπιγράφεσθαί φησι Λυκόφρων ἐν τοῖς Περὶ κωμωιδίας, ὡς τὴν Κλεοστράτου τοῦ Τενεδίου Ἀστρολογίαν) κτλ.